# ΠΡΟΕΟΡΤΙΟΣ ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΚΟΙΜΗΣΙΝ ΤΗΣ ΥΠΕΡΑΓΙΑΣ ΘΕΟΤΟΚΟΥ

ἐξ ἀνεκδότου χειρογράφου

**Ψάλλεται ἐν τῇ καθ᾽ ἡμᾶς Ἱερᾷ Μονῇ τοῦ Ὁσίου Ξενοφῶντος ἅπασαν τὴν περίοδον τοῦ Δεκαπενταυγούστου, πλὴν ἑσπέρας Σαββάτου.**

**Ὁ ἱερεύς·**

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

**Ὁ ἀναγνώστης·** Ἀμήν.

*Ψαλμὸς ρμβ΄ (142).*

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ

δικαιοσύνῃ σου. Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν. Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου· ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου. Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος, καὶ ἠκηδίασεν ἐπ᾿ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου. Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων. Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου· ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι. Ταχὺ εἰσάκουσόν μου, Κύριε· ἐξέλιπε τὸ πνεῦμά μου. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾿ ἐμοῦ καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον. Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα. Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου. Τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με. Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου, καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου. Καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σου εἰμι.

**Καὶ εὐθὺς, ὑπὸ τῶν χορῶν ἐναλλάξ·**

*Ἦχος δ΄.*

Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. (τετράκις)

**Εἶτα τὰ παρόντα τροπάρια·**

*Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Τῇ Θεοτόκῳ ἐκτενῶς νῦν προσδράμωμεν, ἁμαρτωλοὶ καὶ ταπεινοὶ καὶ προσπέσωμεν ἐν μετανοίᾳ, κράζοντες ἐκ βάθους ψυχῆς· Δέσποινα, βοήθησον, ἐφ' ἡμῖν σπλαγχνισθεῖσα· σπεῦσον ἀπολλύμεθα, ὑπὸ πλήθους πταισμάτων· μὴ ἀποστρέψῃς σοὺς δούλους κενούς· σὲ γὰρ καὶ μόνην ἐλπίδα κεκτήμεθα.

Δόξα. *Τὸ αὐτόν.*

Καὶ νῦν. *Ὅμοιον.*

Οὐ σιωπήσομέν ποτε, Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰμὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ· σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

**Ὁ ἀναγνώστης·**

*Ψαλμὸς Ν΄ (50).*

Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου· ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με. Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός. Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαι-

ωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι. Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι. Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεός, καὶ Πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ. Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ Πνεύματι ἡγεμονικῷ στήριξόν με. Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι. Ῥῦσαί με ἐξ αἱμάτων ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου. Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεός οὐκ ἐξουδενώσει. Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ. Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα. Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

**Εἶτα, ψάλλομεν τὸν Κανόνα τῆς Θεοτόκου.**

*Ἦχος πλ. δ΄.*

*Ὠδὴ α΄. Ἁρματηλάτην Φαραώ.*

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ἐκ τῶν περάτων θεαρχίῳ νεύματι, συναθροισθέντες εἰς ἕν, οἱ τοῦ Χριστοῦ μῦσται οἱ πνευματοῤῥήτορες, χορείαν θεοκρότητον, συστησάμενοι ἅμα, τῇ Θεομήτορι ᾄδουσι, μέλος λιγυρὸν ἐναρμόνιον.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Κήρυκες θεῖοι καὶ μῦσται τῆς χάριτος, σοφοὶ Ἀπόστολοι, τὰ χρυσαυγῆ σκεύη τῆς ἀπείρου γνώσεως, σοφίας τε τὰ ὄργανα, νῦν τῇ πάντων Κυρίᾳ, ὕμνον ἐξόδιον ᾄσατε, καὶ σεπτῶς αὐτὴν μεγαλύνατε.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Συναπτικὴ τῶν διεστώτων ἕνωσις, χαῖρε Θεόνυμφε· χαῖρε Θεοῦ Μήτηρ· ᾅδου ἡ καθαίρεσις, θανάτου ἡ ἀναίρεσις, χαῖρε λύσις τῆς λύπης· ποῦ νῦν ἀπαίρεις ὑπέρτιμε, πόλις τοῦ Θεοῦ ἐπουράνιε;

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Χαῖρε κατάρας παλαιᾶς ἡ λύτρωσις, καὶ εὐλογίας πηγή· χαῖρε κτιστῆς πάσης, ἀνωτέρα φύσεως· χαῖρε Χριστοῦ παλάτιον· χαῖρε πύρινε θρόνε, πρὸς οὐρανὸν νῦν ἀπαίρουσα· μὴ λίπῃς ἡμᾶς ἐποπτεύουσα.

*Ὠδὴ γ΄. Ὁ στερεώσας κατ᾽ ἀρχάς.*

Ὑπεραγία Θεοτόκε.

Τῇ φωτοφόρῳ τοῦ Θεοῦ, καθέδρᾳ τιμιωτάτῃ, Γαβριὴλ ὁ Ἀρχιστράτηγος πάλιν, οὐρανόθεν καταβάς, τὸ 'Χαῖρε' σοὶ προσφθέγγεται· Εὐλογημένη χαῖρε, πρὸς θείαν λῆξιν ἀπαίρουσα.

Ὑπεραγία Θεοτόκε.

Σὲ τὴν καλὴν περιστεράν, καὶ νύμφην ὄντως τελείαν, ὁ Νυμφίος τῶν ψυχῶν ὁ ὡραῖος, ὑπεδέξατο χερσί, πρὸς οὐρανὸν ἀπαίρουσαν, καὶ πρὸς τὰς αἰωνίους μονὰς ἐσκήνωσε χαίρουσαν.

Δόξα.

Ὕμνοις ἐξύμνουν οἱ σεπτοί, τῶν οὐρανίων ἀρχηγοί, τὴν τοῦ Κυρίου Μητέρα, παραπέμποντες φαιδρῶς, ἕως ἐκεῖ κατέπαυσεν, ὅπου ὁ θεῖος θρόνος, καὶ ἡ Τριὰς ἡ ὑπέρθεος.

Καὶ νῦν.

Τὴν ἀδιόδευτον βροτοῖς, καὶ ἐπουράνιον πύλην, τοῦ Θεοῦ τὴν φωτοφόρον καθέδραν, τὴν λυχνίαν τὴν χρυσῆν, τὸ ὄρος τὸ κατάσκιον, τὴν Θεοδόχον κλίνην, τὴν Θεοτόκον ὑμνήσωμεν.

Διάσωσον, ἀπὸ κινδύνων τοὺς δούλους σου Θεοτόκε, ὅτι πάντες μετὰ Θεόν, εἰς σὲ καταφεύγομεν, ὡς ἄῤῥηκτον τεῖχος καὶ προστασίαν.

Ἐπίβλεψον ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

**Αἴτησις παρὰ τοῦ ἱερέως·** Κύριε ἐλέησον **(ἀνὰ γ΄). Μετὰ τὴν ἐκφώνησιν τὸ παρὸν Κάθισμα, ὑπὸ τοῦ α΄ χοροῦ·**

*Ἦχος β΄. Τὰ ἄνω ζητῶν.*

Πρεσβεία θερμὴ καὶ τεῖχος ἀπροσμάχητον, ἐλέους πηγή, τοῦ κόσμου καταφύγιον, ἐκτενῶς βοῶμέν σοι· Θεοτόκε Δέσποινα πρόφθασον, καὶ ἐκ κινδύνων λύτρωσαι ἡμᾶς, ἡ μόνη ταχέως προστατεύουσα.

*Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Ὑπεραγία Θεοτόκε.

Ἡ ἡμέρα προσήγγισε, τῆς πρὸς Θεὸν ἀνόδου σου πανύμνητε· χαῖρε πύλη ἀδιόδευτε, καὶ πεφυλαγμένη θείῳ Πνεύματι.

Ὑπεραγία Θεοτόκε.

Ἤδη γὰρ καὶ συγχαίρει σοι, στῖφος τῶν πιστῶν Παρθένε πανύμνητε, καὶ προσφέρει σοι τὸν ὕμνον, ἐξιτήριον καὶ προεόρτιον.

Δόξα.

Σὺν Ἀποστόλοις Ἄγγελοι, μέλος Θεοκρότητον ἑτοιμάζουσι, σοὶ τῇ Μητρὶ τοῦ Κυρίου, μεθισταμένῃ νῦν πρὸς

οὐράνια.

Καὶ νῦν.

Τάφος πῶς ὑπεδέξατο, σῶμα σου τὸ ἅγιον Ἀειπάρθενε; καὶ γὰρ τὴν θείαν ψυχήν σου, ὁ Υἱὸς καὶ Θεός σου ἐδέξατο.

*ᾨδὴ ε΄. Ἵνα τί με ἀπώσω.*

Ὑπεραγία Θεοτόκε.

Ἡ τοῦ κόσμου Κυρία, πρὸς τὴν ὑπερκόσμιον ζωὴν μεθίσταται· ὁ Ναὸς ὁ θεῖος, πρὸς Ναὸν ἐπουράνιον αἴρεται· ἡ χρυσῆ λυχνία, ἡ κιβωτὸς τῆς διαθήκης, ἐν ἁγίων ἁγίοις οἰκίζεται.

Ὑπεραγία Θεοτόκε.

Ὁ Θεοῦ Θεὸς Λόγος, ἐπὶ σὲ νῦν Παρθένε κατέρχεται, ἔχων ἀκολούθους, τῶν Ἀγγέλων τὰ τάγματα ἅπαντα, ὅπως σὲ ἐνδόξως, ὡς ἑαυτοῦ ἁγνὴν Μητέρα, ἐπουράνιον ἐνδείξῃ ἄνασσαν.

Δόξα.

Ὁ χορὸς Ἀποστόλων, ἀνυμνῶν προέπεμπε Κόρη Θεόνυμφε, τὸ ἀκήρατόν σου σῶμα, σὺν δάκρυσιν ὕμνοις τε· ποῦ Μῆτερ ἀπαίρεις, βοῶν, ἡμᾶς τε καταλίπεις, ἐπὶ γῆς ὀρφανοὺς ἀπροστατεύτους;

Καὶ νῦν.

Ἀλλὰ καὶ αἱ τάξεις, τῶν Ἀγγέλων ἅπασαι Μῆτερ ἀπείρανδρε, μέλος ἐμελῴδουν, Θεοκρότητον καὶ ἐναρμόνιον, σοὶ τῇ Παναταναάσσῃ, καὶ ὡς Θεοῦ ἁγνὴν Μητέρα, σὲ προέπεμπον καὶ ἐμακάριζον.

*Ὠδὴ στ΄. Ἱλάσθητί μοι Σωτήρ.*

Ὑπεραγία Θεοτόκε.

Υἱὸς σου ὁ καὶ Θεός, τὸν Γαβριὴλ πέμπει Δέσποινα, μηνῦσαί σοι εὐλαβῶς, τὴν θείαν μετάστασιν· ὅθεν ἐκβοῶμέν σοι· Ἄφεσιν πταισμάτων, καὶ σωτηρίαν ἡμῖν αἴτησαι.

Ὑπεραγία Θεοτόκε.

Ἀκούσασα ἡ ἁγνή, παρὰ Ἀγγέλου τὸ μήνυμα, ἐν ὄρει τῶν ἐλαιῶν, ἀπῆλθες προσεύξασθαι· ἔκυψαν δὲ πάναγνε, τὰ φυτὰ καὶ δένδρα, καὶ ὡς εἰκὸς σὲ προσεκύνησαν.

Δόξα.

Ἀλλὰ καὶ πάντες ἡμεῖς, κλίνομεν γόνυ σοι Δέσποινα, καὶ εὐλαβῶς ὡς εἰκός, προσκυνοῦμεν ἄχραντε, τὴν θείαν εἰκόνα σου, τῶν πταισμάτων λύσιν, παρὰ σοῦ εὑρεῖν ἐλπίζοντες.

Καὶ νῦν.

Ὤφθη Θεὸς ἐπὶ γῆς, καὶ τοῖς ἀνθρώποις ὡμίλησε, διὰ σοῦ θεοπρεπῶς, καὶ κόσμον ἡγίασεν· ὅθεν ἐκβοῶμέν σοι· Χαῖρε Θεοτόκε, σωτηρίας ἡμῖν πρόξενε.

Διάσωσον ἀπὸ κινδύνων τοὺς δούλους σου, Θεοτόκε, ὅτι πάντες μετὰ Θεόν, εἰς σὲ καταφεύγομεν, ὡς ἄῤῥηκτον τεῖχος καὶ προστασίαν

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

**Αἴτησις παρὰ τοῦ ἱερέως·** Κύριε ἐλέησον **(ἀνὰ γ΄). Μετὰ τὴν ἐκφώνησιν τὸ ἀκόλουθον κάθισμα, ὑπὸ τοῦ β΄ χοροῦ·**

*Ἦχος γ΄. Τὴν ὡραιότητα.*

Τὰ προεόρτια τῆς μεταστάσεως, πανηγυρίζοντες τῆς Θεομήτορος, ἀγαλλιώμενοι πιστῶς πρὸς αὐτὴν ἀνακράξωμεν· Χαῖρε ἡ ἀπαίρουσα, ἀπὸ γῆς πρὸς οὐράνια· χαῖρε ἡ τὰ πέρατα τῆς Κοιμήσει ζωώσασα· διὸ νῦν μεταβαίνουσα μέμνησο, τοῦ κόσμου ἡ Κεχαριτωμένη.

**Καὶ εὐθὺς τὸ Προκείμενον, καὶ τὸ Εὐαγγέλιον·**

Μνησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ. (δίς)

*Στίχ.*: Ἄκουσον θύγατερ καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου, καὶ ἐπιθυμήσῃ ὁ βασιλεύς τοῦ κάλλους σου.

Τοῦ ὀνόματός σου μνησθήσομαι ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.

**Ὁ ἱερεύς·**

Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου, Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν.

**Ὁ χορός·** Κύριε ἐλέησον (τρίς).

**Ὁ ἱερεύς·**

Σοφία· ὀρθοί, ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου. Εἰρήνη πᾶσι.

**Ὁ χορός·** Καὶ τῷ πνεύματί σου.

**Ὁ ἱερεύς·**

Ἐκ τοῦ κατὰ Λουκᾶν ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα. Πρόσχωμεν.

**Ὁ χορός·** Δόξα σοι Κύριε, δόξα σοι.

**Ὁ ἱερεύς·**

(Λουκ. α΄, 39-49,56)

Ἐν ταῖς ἡμέραις ἐκείναις, ἀναστᾶσα Μαριὰμ ἐπορεύθη εἰς τὴν ὀρεινὴν μετὰ σπουδῆς εἰς πόλιν Ἰούδα, καὶ εἰσῆλθεν εἰς τὸν οἶκον Ζαχαρίου καὶ ἠσπάσατο τὴν Ἐλισάβετ. Καὶ ἐγένετο ὡς ἤκουσεν ἡ Ἐλισάβετ τὸν ἀσπασμὸν τῆς Μαρίας, ἐσκίρτησε τὸ βρέφος ἐν τῇ κοιλίᾳ αὐτῆς· καὶ ἐπλήσθη Πνεύματος Ἁγίου ἡ Ἐλισάβετ καὶ ἀνεφώνησε φωνῇ μεγάλῃ καὶ εἶπεν· Εὐλογημένη σὺ ἐν γυναιξὶ καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου. Καὶ πόθεν μοι τοῦτο ἵνα ἔλθῃ ἡ μήτηρ τοῦ Κυρίου πρός με; Ἰδοὺ γὰρ ὡς ἐγένετο ἡ φωνὴ τοῦ ἀσπασμοῦ σου εἰς τὰ ὦτά μου, ἐσκίρτησε τὸ βρέφος ἐν ἀγαλλιάσει ἐν τῇ κοιλίᾳ μου. Καὶ μακαρία ἡ πιστεύσασα ὅτι

ἔσται τελείωσις τοῖς λελαλημένοις αὐτῇ παρὰ Κυρίου. Καὶ εἶπε Μαριάμ· Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον καὶ ἠγαλλίασε τὸ Πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου, ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ. Ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί· ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατὸς καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ. Ἔμεινε δὲ Μαριὰμ σὺν αὐτῇ ὡσεὶ μῆνας τρεῖς, καὶ ὑπέστρεψεν εἰς τὸν οἶκον αὐτῆς.

**Ὁ χορός·** Δόξα σοι Κύριε, δόξα σοι.

*Ἦχος β΄.*

Δόξα.

Πάτερ, Λόγε, Πνεῦμα, Τριὰς ἡ ἐν Μονάδι, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν.

Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

*Στίχ.:* Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, ἐξάλειψον τὸ ἀνόμημά μου.

*Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.*

Μὴ καταπιστεύσῃς με, ἀνθρωπίνῃ προστασίᾳ, Παναγία Δέσποινα, ἀλλὰ δέξαι δέησιν τοῦ ἱκέτου σου· θλῖψις γὰρ ἔχει με, φέρειν οὐ δύναμαι, τῶν δαιμόνων τὰ τοξεύματα· σκέπην οὐ κέκτημαι, οὐδὲ ποῦ προσφύγω ὁ ἄθλιος, πάντοθεν πολεμούμενος, καὶ παραμυθίαν οὐκ ἔχω πλήν σου· Δέσποινα τοῦ κόσμου, ἐλπὶς καὶ προστασία τῶν πιστῶν, μή μου παρίδῃς

τὴν δέησιν, τὸ συμφέρον ποίησον.

Οὐδεὶς προστρέχων ἐπὶ σοί, κατῃσχυμμένος ἀπὸ σοῦ ἐκπορεύεται, ἁγνὴ Παρθένε Θεοτόκε· ἀλλ᾽ αἰτεῖται τὴν χάριν καὶ λαμβάνει τὸ δώρημα, πρὸς τὸ συμφέρον τῆς αἰτήσεως.

Μεταβολὴ τῶν θλιβομένων, ἀπαλλαγὴ τῶν ἀσθενούντων, ὑπάρχουσα Θεοτόκε Παρθένε, σῶζε ποίμνην καὶ λαόν, τῶν πολεμουμένων ἡ εἰρήνη, τῶν χειμαζομένων ἡ γαλήνη, ἡ μόνη προστασία τῶν πιστῶν.

**Ὁ ἱερεύς·** Σῶσον ὁ Θεὸς τὸν λαόν σου, **καὶ ὁ χορός·** Κύριε ἐλέησον **(ιβ΄)**. **Ὁ ἱερεύς·** Ἐλέει καὶ οἰκτιρμοῖς, **καὶ ὁ χορός·** Ἀμήν. **Καὶ εὐθὺς τὰς λοιπὰς ᾨδὰς τοῦ Κανόνος.**

*ᾨδὴ ζ΄. Θεοῦ συγκατάβασιν.*

Ὑπεραγία Θεοτόκε.

Παρθένοι νεάνιδες, μετ᾽ εὐφροσύνης δεῦτε ἀθροίσθητε, καὶ τῇ ὄντως Παρθένῳ, καὶ βασιλίδι ὕμνον προσάξατε, ἀνερχομένῃ πρὸς τὰ ὑπερκόσμια· 'Χαῖρε' βοῶσαι, χαρὰ τῶν ἐλπιζόντων εἰς σέ.

Ὑπεραγία Θεοτόκε.

Τὴν θείαν σου ἄνοδον, πάλαι προδιετύπου σαφῶς ἡμῖν, ὁ προφήτης Ἠλίας, εἰς οὐρανοὺς ἐπαρθεὶς ἐν ἅρματι· σὺ δὲ ἐνδόξως ἐπήρθης πανάμωμε, πρὸς οὐρανίους σκηνὰς ὡς Μήτηρ ὄντως Θεοῦ.

Δόξα.

Ἡ πάντων δεσπόζουσα, τῶν ποιημάτων τῷ εὐσεβεῖ σου λαῷ, τὰ τῆς νίκης παράσχου, κατὰ δαιμόνων τρόπαια, καὶ τὴν σὴν ποίμνην φύλαττε ἀλώβητον, ἐνδόξως πρὸς τὸν σὸν Υἱὸν ἀπαίρουσα νῦν ἁγνή.

Καὶ νῦν.

Τὴν μόνην ἀπείρανδρον, καὶ μετὰ τόκον Παρθένον μείνασαν, τοῦ Θεοῦ τὴν Μητέρα, τῶν ἐπιγείων τὸ σεμνολόγημα, τῶν οὐρανίων Ἀγγέλων τὸ καύχημα, πνευματικαῖς οἱ πιστοὶ ὑμνολογοῦμεν φωναῖς.

*ᾨδὴ η΄. Ἑπταπλασίως κάμινον.*

Ὑπεραγία Θεοτόκε.

Ἐν προσευχαῖς σχολάζουσα, καὶ νηστείαις πανάμωμε, ταύτας τὰς ἡμέρας ἐξεδέχου χαίρουσα, τὴν θείαν ἀνάλυσιν, τὴν ἀπὸ γῆς μετάστασιν, τὴν εἰς οὐρανοὺς πανευκλεῆ ἐκδημίαν· διό σοι καὶ οἱ δοῦλοι, συννηστεύομεν πάντες, καὶ συνδοξολογοῦμεν τὸν μεγαλύναντά σε.

Ὑπεραγία Θεοτόκε.

Νεφέλαι δεῦτε πάριτε, θεοδρόμῳ κινήματι· ἡ Δέσποινα γὰρ καὶ βασιλὶς τοῦ σύμπαντος, πρὸς φῶς νῦν ἐπείγεται ἀνελθεῖν τὸ ἀνέσπερον· διὸ ἄρδην πάντας τοὺς σοφοὺς Ἀποστόλους, ἐνέγκατε πρὸς αἶνον, καὶ πρὸς δοξολογίαν, τοῦ παναγίου σκήνους αὐτῆς τῆς Θεοδόχου.

Εὐλογοῦμεν Πατέρα, Υἱὸν καὶ Ἅγιον Πνεῦμα,
τὸν Κύριον ὑμνοῦμεν.

Μέγα θαῦμα τετέλεσται, ἐν τῇ σεπτῇ κοιμήσει σου· ἐκ περάτων γὰρ νεφελοδρόμοι ἥκασιν, οἱ μῦσται τῆς χάριτος, ἐξ ὕψους δὲ ὁ Κύριος, καὶ τὰ Χερουβεὶμ καὶ Σεραφεὶμ τὰ πυρώδη, βροτοὶ ἐδοξολόγουν, ὁμοῦ σὺν τοῖς Ἀγγέλοις, τὸ πάντιμόν σου σκῆνος ἁγνὴ τὸ Θεοδόχον.

Καὶ νῦν.

Σὲ τὴν κοινὴν βοήθειαν, βασιλεῖς τε καὶ ἄρχοντες, ἱερεῖς λαὸς καὶ μοναζόντων τάγματα, πιστῶς λιτανεύομεν· Εἰρηνικὴν καὶ ἄλυπον, δώρησαι ἡμῖν τὴν ἀπὸ γῆς παροικίαν, καὶ δόξης ἀϊδίου, καὶ ζωῆς τῆς μενούσης, καταξίωσον πάντας ἐν τῷ μέλλοντι αἰῶνι.

*Ὠδὴ θ΄. Ἐξέστη ἐπὶ τούτῳ.*

Ὑπεραγία Θεοτόκε.

Μηδεὶς ἀπολειφθήτω τῆς ἱερᾶς, τῆς Δεσποίνης ἡμῶν πανηγύρεως· πάντες ὁμοῦ, δράμωμεν θεάσασθαι νοητῶς, τὸ ὑπὲρ νοῦν μυστήριον, ψυχὴν γυναικεῖαν εἰς οὐρανούς, χερσὶ κομιζομένην, Θεοῦ Παντοδυνάμου, δήμους Ἀγγέλων παραπέμποντας.

Ὑπεραγία Θεοτόκε.

Ἀγγέλων τε αἱ θεῖαι παρεμβολαί, Χερουβεὶμ Σεραφεὶμ Κυριότητες, Θρόνοι Ἀρχαί, Δυνάμεις Ἐξουσίαι παν–

ευκλεεῖς, σὺν Ἀποστόλοις ᾄδουσιν, ὕμνον τὸν ἐξόδιον τῇ Μητρί, τοῦ πάντων Βασιλέως, λαμπρῶς διερχομένῃ, ἕως τοῦ οἴκου τοῦ Θεοῦ ἡμῶν.

Νεφέλαι εὐφροσύνην ῥάνατε νῦν, καὶ βουνοὶ καὶ τὰ ὄρη σταλάξατε, τὸν γλυκασμόν· καὶ ἡ ἐκκλησία τῶν εὐσεβῶν, λαμπρύνθητι καὶ χαίρουσα, τὴν σεπτὴν μετάστασιν τῆς ἁγνῆς, ἑόρταζε Παρθένου· ἰδοὺ γὰρ πρὸς τὸ φέγγος, τὸ ὑπεράϋλον μεθίσταται.

Ὑπόδεξαι Ἀγγέλων ἡ στρατιά, οὐρανοὶ τε Θεοῦ τὸ στερέωμα, ταῖς ἀρεταῖς, ὡς ἄστροις ὑπάρχουσαν λαμπροειδῆ, τὴν τοῦ Κυρίου πάναγνον, Μητέρα καὶ μόνην ἐν γυναιξί, Παρθένον Θεοτόκον· ἰδοὺ γὰρ μετὰ δόξης πρὸς φῶς ἀνέρχεται τὸ ἄϋλον.

Δόξα.

Ταύτας τὰς ᾠδὰς ὦ Μῆτερ Θεοῦ, προεόρτιον ὕμνον προσφέρω σοι· πρόσδεξαι οὖν, ὡς τὰ λεπτὰ τῆς χήρας ὁ σὸς Υἱός, καὶ Πανοικτίρμων Κύριος, καὶ παράσχου χάριν ἥτις ἐστί, τὸ ἔλεος τὸ μέγα, τῆς σῆς φιλευσπλαγχνίας, δι᾽ ἀγαθότητός σου πέλαγος.

Καὶ νῦν.

Λουτῆρι τοῦ ἐλέους τοῦ σοῦ ἁγνή, τὰς ἐμὰς ἁμαρτίας ἐξάλειψον, καὶ φωταυγῆ, χάριν μοι παράσχου τὰς τοῦ νοός, κόρας ἀποκαθαίρουσαν, καὶ προσενισχύουσαν καθορᾶν, ἀεὶ τὸ τοῦ Υἱοῦ σου, κάλλος τοῦ Φιλανθρώπου, καὶ Ἐλεήμονος Θεοῦ ἡμῶν.

**Τὰ Μεγαλυνάρια·**

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον, καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον σὲ μεγαλύνομεν.

Τὴν ὑψηλοτέραν τῶν οὐρανῶν, καὶ καθαρωτέραν λαμπηδόνων ἡλιακῶν, τὴν λυτρωσαμένην ἡμᾶς ἐκ τῆς κατάρας, τὴν Δέσποιναν τοῦ κόσμου, ὕμνοις τιμήσωμεν.

Ἀπὸ τῶν πολλῶν μου ἁμαρτιῶν, ἀσθενεῖ τὸ σῶμα, ἀσθενεῖ μου καὶ ἡ ψυχή· πρὸς σὲ καταφεύγω τὴν Κεχαριτωμένην· ἐλπὶς ἀπηλπισμένων, σύ μοι βοήθησον.

Δέσποινα καὶ Μήτηρ τοῦ Λυτρωτοῦ, δέξαι παρακλήσεις ἀναξίων σῶν ἱκετῶν, ἵνα μεσιτεύσῃς πρὸς τὸν ἐκ σοῦ τεχθέντα· Ὦ Δέσποινα τοῦ κόσμου, γενοῦ μεσίτρια.

Ψάλλομεν προθύμως σοι τὴν ᾠδήν, νῦν τῇ πανυμνήτῳ Θεοτόκῳ χαρμονικῶς· μετὰ τοῦ Προδρόμου καὶ πάντων τῶν Ἁγίων, δυσώπει Θεοτόκε τοῦ οἰκτειρῆσαι ἡμᾶς.

Ἄλαλα τὰ χείλη τῶν ἀσεβῶν, τῶν μὴ προσκυνούντων τὴν εἰκόνα σου τὴν σεπτήν, τὴν ἱστορηθεῖσαν ὑπὸ τοῦ ἀποστόλου, Λουκᾶ ἱερωτάτου, τὴν Ὁδηγήτριαν.

**Καὶ τὰ Μεγαλυνάρια τῆς Μονῆς·**

Ἄστρον ἀνατέταλκε φαεινόν, ἐκ τῆς Καππαδόκων, ὁ πολύαθλος τοῦ Χριστοῦ, μάρτυς καὶ φωτίζει, πιστῶν ἅπαν τὸ πλῆθος, Γεώργιος ὁ μέγας, ὃν νῦν γεραίρομεν.

Τὸν μέγαν ὁπλίτην καὶ ἀθλητήν, τὸν στεφανηφόρον καὶ ἐν μάρτυσι θαυμαστόν, τὸν λόγχῃ τρωθέντα, πλευρὰν ὡς ὁ Δεσπότης, Δημήτριον τὸν θεῖον, ὕμνοις τιμήσωμεν.

Χαίροις τῶν ὁσίων ὁ μιμητής, καὶ Ἄθωνος Ὄρους, ὁ λαμπρότατος οἰκιστής, Ξενοφῶν πατέρων, ὡράϊσμα καὶ κλέος, ἡμῶν δὲ προστασία, καὶ τεῖχος ἄρρηκτον.

Τῆς Θεολογίας τὸν ἀρχηγόν, τὸν ἠγαπημένον Ἰωάννην καὶ μαθητήν, τὸν ἐπὶ τὸ στῆθος, Χριστοῦ ἀναπεσόντα, τὸν μέγαν Θεολόγον, ὕμνοις τιμήσωμεν.

Δεῦτε τῆς Τριάδος τὸν ἐραστήν, καὶ Χριστοῦ τὸν μέγαν στρατιώτην καὶ ἀθλητήν, τὸν θερμὸν προστάτην, τῶν Ὀρθοδόξων πάντων, Τρύφωνα τὸν γενναῖον, ὕμνοις τιμήσωμεν.

Φύλαττε καὶ σκέπε ταῖς σαῖς λιταῖς, Χαράλαμπες μάρτυς ὡς τὴν χάριν ταύτην λαβών, ἡμᾶς ἐκ παντοίων, νόσων ὀλεθρίων, καὶ λοιμικοῦ θανάτου, πάντας λυτρώσασθαι.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀπόστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες, μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

**Εἶτα, τὸ** Τρισάγιον. Δόξα. Καὶ νῦν. Παναγία Τριάς. Δόξα. Καὶ νῦν. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστίν· **καὶ τὰ Τροπάρια·**

*Ἦχος πλ.β΄.*

Ἐλέησον ἡμᾶς Κύριε, ἐλέησον ἡμᾶς· πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοὶ προσφέρομεν· ἐλέησον ἡμᾶς.

Δόξα.

Κύριε, ἐλέησον ἡμᾶς· ἐπὶ σοὶ γὰρ πεποίθαμεν. Μὴ ὀργισθῇς ἡμῖν σφόδρα, μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν· ἀλλ' ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαγχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν· σὺ γὰρ εἶ Θεὸς ἡμῶν, καὶ ἡμεῖς λαός σου· πάντες ἔργα χειρῶν σου, καὶ τὸ ὄνομά σου ἐπικεκλήμεθα.

Καὶ νῦν. *Θεοτοκίον.*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν εὐλογημένη Θεοτόκε· ἐλπίζοντες εἰς σέ, μὴ ἀστοχήσωμεν· ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων. Σὺ γὰρ εἶ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

**Ἡ ἐκτενὴς παρὰ τοῦ ἱερέως·** Κύριε ἐλέησον **(τρὶς, 40άκις ἀνὰ ι΄, καὶ τρίς), καὶ ἡ Ἀπόλυσις ὑπὸ τοῦ ἱερέως, μεθ' ἣν ψάλλομεν τὰ ἑπόμενα τροπάρια·**

*Ἦχος γ΄.*

Ἀπόστολοι ἐκ περάτων, συναθροισθέντες ἐνθάδε, Γεθσημανῇ τῷ χωρίῳ, κηδεύσατέ μου τὸ σῶμα· καὶ σὺ Υἱὲ καὶ Θεέ μου, παράλαβέ μου τὸ πνεῦμα.

Ὁ γλυκασμὸς τῶν Ἀγγέλων, τῶν θλιβομένων ἡ χαρά, Χριστιανῶν ἡ προστάτις, Παρθένε Μήτηρ Κυρίου, ἀντιλαβοῦ μου καὶ ῥῦσαι, τῶν αἰωνίων βασάνων.

Καὶ σὲ μεσίτριαν ἔχω, πρὸς τὸν Φιλάνθρωπον Θεόν· μή μου ἐλέγξῃ τὰς πράξεις, ἐνώπιον τῶν Ἀγγέλων. Παρακαλῶ σε Παρθένε, βοήθησόν μοι ἐν τάχει.

Χρυσοπλοκώτατε πύργε, καὶ δωδεκάτειχε πόλις, ἡλιοστάλακτε θρόνε, καθέδρα τοῦ Βασιλέως, ἀκατανόητον θαῦμα, πῶς γαλουχεῖς τὸν Δεσπότην;

**Καὶ ὁ Ἱερεύς·**

Δι᾽ εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.